UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Aphrodisio Presbytero. 271.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἰδίας φιλοτιμίας ἀναλίσκοντος. πραγματευομένου δὲ τὰς ἀλλοτρίας συμφορὰς, καὶ μήτε δάκρυον αἰδουμένου ἐν τοσαύτῃ κακῶν ἀνάγκῃ, μήτε χεῖρα ὀρέγοντος. ἐπεὶ τοίνυν τοιαῦτα καταθρηνῶν γέγραφας, καὶ παρακέκληκας ὥστε ἡμᾶς αὐτῷ γράψαι, ἴσθι ὅτι πᾶσα ἰατρικὴ τέχνη ἥττηται τῷ νοσήματι τἀνδρός. πολλὰ γὰρ καὶ προσηνῆ καὶ δραστήρια γράμματα δεξάμενος, ἀπώνατο οὐδέν. διὸ καὶ τὴν σιγὴν λοιπὸν τὴν πρὸς αὐτοὺς τετιμήκαμεν. εἰ τοίνυν δύναιο δι' εὐχῶν κατορθῶσαί τι σαυτῷ τε καὶ τῇ πόλει, ἀφέμενος τὸν θρῆνον ἔχου, τάχα πως ὁ καὶ τὰ ἀνήκεστα ἰώμενος πάθη, ποιήσει καὶ αὐτὸν ἐκ τῆς τοσαύτης μανίας ἀνενεγκεῖν, καὶ τὴν πόλιν ἐπὶ γόνυ κειμένην, μᾶλλον δὲ, ὡς ἔφης, τεθνηκυῖαν ἀναστῆσαι.

ſatiáque pauperum alimenta in munificentias ſuas inſumit, meſſémque ex alienis calamitatibus facit, atque in tanta malorum anguſtia nec lachrymis vllis cōmouetur, nec manum porrigit. Quoniam igitur hæc lamētans ſcripſiſti, méque hortatus es, vt ad eum literas mitterem, illud velim ne ignores omnem medendi artem morbi ipſius grauitati ſuccubuiſſe. Nam cùm multas, tum blandas & ſuaues, tum acres & vehementes literas acceperit, nullum tamen ex ipſis fructum cepit. Ac propterea ſilentium iam ad eum colendum duximus. Quamobrem ſi quid, quod tibiipſi, & ciuitati vtile ſit precibus tuis efficere potes, omiſſo luctu in eam rē incumbe. Sic enim fortaſſe is, qui deploratos etiā morbos ſanat, vt & ipſe ex ingenti inſania emergat, & ciuitas in genua iacens, vel potiùs, vt verbo tuo vtar, mortua & extincta excitetur, efficiet.

### Ἀφροδισίῳ πρεσβυτέρῳ. σοα.

Ἐπειδὴ γέγραφας, δι' ἣν αἰτίαν οὐ πᾶσιν ἡ θεία ἐφίπταται χάρις, ἴσθι ὦ θαυμάσιε, ὅτι ἐπειδὴ τὴν προαίρεσιν ἐξετάζουσα πρῶτον οὕτω ἐπιφοιτᾷ. εἰ γὰρ καὶ χάρις ἐστὶν οὐχ ἁπλῶς ἐκχεῖται, ἀλλὰ τὰ μέτρα παρὰ τῶν δεχομένων λαμβάνουσα τοσοῦτον ἐπιρρεῖ, ὅσον ἂν εὕρῃ σκεῦος πίστεως αὐτῇ προσενεχθέν. εἰ γὰρ μὴ τὰ παρ' ἡμῶν πρῶτον ἐζήτει, πᾶσιν ἂν ἐπέπτη. ἐπειδὴ δὲ τὴν προαίρεσιν ἐξετάζει, καὶ οὕτως παραγίνεται, ὡς καὶ ἐπὶ τοῦ ἀριστέως Παύλου. σκεῦος γάρ μοι φησὶν ἐστὶν ἐκλογῆς οὗτος, τοῖς μὲν ἐπιφοιτᾷ, καὶ παραμένει, τῶν δὲ ἀποφοιτᾷ. εἰς δὲ τοὺς οὐδὲ τὴν ἀρχὴν καθίεται.

### *Aphrodiſio Presbytero.* 271.

Quoniam per literas ex me ſciſcitaris, ecquid ſit, quamobrem Dei gratia non ad omnes aduolet, illud ſcito, vir admirande, hoc idcirco fieri, quòd ea primùm animi inſtitutum expendat, atque ita deinde accedat. Etſi enim gratia ſit, non tamen temerè ac citra diſcrimen vllum effunditur, ſed menſuras ab iis, qui eam accipiunt, ſumens, tantum influit, quantum fidei vas ſibi oblatum inuenerit. Nam niſi ea, quæ noſtrarum partium ſunt, primùm requireret, ad omnes profectò aduolaſſet. Quoniam verò voluntatem animíque inductionem explorat, atque ita demum accedit, (quemadmodum in fortiſſimo etiam Paulo cōtigiſſe videmus. Vas enim electionis, inquit, mihi eſt hic: ob eā proinde cauſam ad quoſdam ſe cōfert, atque apud eos permanet, à quibuſdā autē recedit: ac denique ad quoſdam ne omnino quidē deſcendit.

### Κύρῳ μονάζοντι. σοβ.

Εἰ τὸ μὴ συμμαίνεσθαι αὐτῷ μανίαν ἡγεῖται, καὶ καλεῖ Εὐσέβιος ὡς γέγραφας

### *Cyro monacho.* 272.

Si Euſebius Epiſcopus, vt ſcribis, non cum eo inſanire, inſaniam eſſe cēſet, atque